# TEZAUR LITURGIC

## 4 IUNIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.MIRONOSIȚE MARIA ȘI MARTA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 04 ΙΟΥΝΙΟΣ
# ΜΑΡΘΑΣ & ΜΑΡΙΑΣ, ΑΔΕΛΦΩΝ ΛΑΖΑΡΟΥ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ταῖς μυροφόροις γυναιξὶ νῦν προσπέσωμεν, οἱ καχεκτοῦντες καὶ δεινῶς χειμαζόμενοι, κραυγάζοντες· λυτρώσασθε ἡμᾶς πειρασμῶν, τοῦ Χριστοῦ μαθήτριαι, θεοτίμητε Μάρθα, καὶ Μαρία πάγκαλε, τοὺς ὑμᾶς εὐφημοῦντας, ὡς δαψιλεῖς τῆς χάριτος κρουνούς, καὶ τῶν μερόπων, ταχεῖαν ἀντίληψιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Μαρία καὶ Μάρθα, χαρᾶς Ἐδὲμ ἀξιώσατέ με. Χ.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Μαρία καὶ Μάρθα πανευλαβεῖς, ὑπέρτερον τύρβης, καὶ μερίμνης βιοτικῆς, ὑμῶν ἀναδείξατε πρεσβείαις, τὸν ἐκζητοῦντα ὑμῶν τὴν ἀντίληψιν.

Ἀμέμπτως βιώσασαι ὡς Χριστοῦ, μαθήτριαι Μάρθα, καὶ Μαρία θερμῶς Αὐτῷ, πρεσβεύσατε ἅπαντας βιῶσαι, ἡμᾶς ἀσπίλως ἐν γῇ θεοδόξαστοι.

Ῥημάτων αὐτήκοοι τοῦ Χριστοῦ, γενόμεναι Μάρθα, καὶ Μαρία τῶν ζωτικῶν, αὐτῶν ἐραστὰς καὶ τοὺς τιμῶντας, ὑμῶν τὴν μνήμην τὴν θείαν ποιήσατε.

Ἰθύνατε φόβῳ τῷ τοῦ Θεοῦ, Μαρία καὶ Μάρθα, μυροφόροι θεοειδεῖς, τοὺς πίστει δοξάζοντας καὶ πόθῳ, Χριστὸν ὑμῶν τὸν παμμέγαν διδάσκαλον.

*Θεοτοκίον.*

Ἀνύμφευτε Μῆτερ τοῦ Λυτρωτοῦ, Ἡλίου καθέδρα, Ἐκκλησίας τοῦ νοητοῦ, κἀμὲ καταλάμπρυνον αὐγαῖς Σου, τὸν συνεχόμενον σκότει τῶν θλίψεων.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Κάλλος τὸ ὑπὲρ λόγον τοῦ Ἰησοῦ βλέπουσαι, καὶ ἐν τῆς ψυχῆς τῷ ταμείῳ, ῥήσεις φυλάττουσαι, Αὐτοῦ ἀχλὺν μεριμνῶν, διασκεδάσατε βίου, ὁδηγοὶ γενόμεναι, πάντων πρὸς θεώσιν.

Αὐταδέλφων Λαζάρου δυὰς κλητὴ πάντιμοι, Μάρθα καὶ Μαρία Κυρίῳ, διακονήσασθαι, ἀπολαβεῖν τῆς Αὐτοῦ, κατηξιώθητε δόξης, ἧς ὑμῶν δεήσεσι, καὶ μετασχοίημεν.

Ἰησοῦ ὁλοθύμως τοὺς ἱεροὺς ἤλειψας, πόδας πολυτίμῳ σου μύρῳ, Μαρία πάντιμε, καὶ κεφαλῆς σου θριξίν, Αὐτοὺς ἐκμάσσουσα χάριν, δαψιλῆ ἰάσεων, ἄνωθεν εἴληφας.

*Θεοτοκίον.*

Μὴ τὴν μήτραν Σου φλέξας ὁ τοῦ Θεοῦ σύνθρονος, Λόγος ἐν Σοὶ Μῆτερ σκηνώσας, ὕλην κατέφλεξε, τῆς

ἁμαρτίας ἡμῶν, φανεὶς ὡς ἄνθρωπος πᾶσιν, ὑπὲρ φύσιν τέλειος, θεομακάριστε.

Κοσμήσατε, ἔργοις καὶ πράξεσι θείαις ἡμῶν τὸν βίον, αἱ μερίδα τὴν ἀγαθὴν λαβεῖν ἐκλεξάμεναι, Μαρία καὶ Μάρθα ὦ μυροφόροι.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάται θερμαὶ ὑπάρχετε αὐτάδελφοι, Μαρία κλεινὴ καὶ Μάρθα παναοίδιμε, τῶν σπευδόντων τῇ χάριτι, τῇ ὑμῶν καὶ βοώντων ἑκάστοτε· ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, Χριστοῦ μυροφόροι καὶ διάκονοι.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀγλαὴ διακόνισσα, τοῦ Κυρίου Μάρθα ἀειμακάριστε, σωτηρίας θρέψον ῥήμασι, τοὺς ταῖς σαῖς πρεσβείαις ακταφεύγοντας.

Ῥῦσαι πάσης στενώσεως, τοὺς σὲ μυροφόρε Μαρία μέλποντας, καὶ ὁδήγει τοὺς τιμῶντάς σε, πρὸς τοὺς μυροβόλους κήπους χάριτος.

Θεοφόροι μαθήτριαι, Μάρθα καὶ Μαρία Χριστοῦ μὴ παύσητε, ὑπὲρ πάντων ἱκετεύουσαι, τὸν ὑμῶν Διδάσκαλον καὶ Κύριον.

*Θεοτοκίον.*

Ἀπειρόγαμε Δέσποινα, τὸν ἐκ τοῦ θανάτου ἐξαναστήσαντα, πρὸς ζωὴν βροτῶν τὸ σύστημα, Ιησοῦν ἀφράστως κόσμῳ ἔτεκες.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Χαῖρε ξυνωρίς, θεοδόξαστε κραυγάζοντες, μυροφόρων τοῦ Λαζάρου ἀδελφῶν, τὰς λιτάς σου πρὸς Θεὸν ἀπεκδεχόμεθα.

Αἴνεσιν ἡμῶν, εὐτελὲς ὡς δῶρον δέξασθε, καὶ σεήσεις προσαγάγετε ἡμῶν, πρὸς Θεὸν Αὐτοῦ εὐήκοοι μαθήτριαι.

Ῥείθροις πρεσβειῶν, τῶν ὑμῶν πιστοὺς ἀρδεύσατε, Μάρθα θεία καὶ Μαρία ἱερά, ἵνα πάντες πρὸς τελείωσιν ὁδεύσωμεν.

*Θεοτοκίον.*

Ἄνθραξιν ἁγνή, τῶν πταισμάτων μου φλεγόμενον, ἐπομβρίαις καταδρόσισον εὐχῶν, τῶν ἀόκνων σου πρὸς Κύριον Μητράνανδρε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Σοφώταται, τοῦ Χριστοῦ μαθήτριαι, καὶ Λαζάρου ἀδελφαὶ τοῦ γνησίου, Κυρίου φίλου Μαρία καὶ Μάρθα, δοῦναι ἡμῖν τῶν πταισμάτων συγχώρησιν, καθικετεύσατε Χριστόν, καὶ ζωὴν τὴν ἐν πόλῳ αἰώνιον.

Ἐδράμετε, μύροις ἐπαλείψασθαι, τοῦ Κυρίου τὸ πανάχραντον σῶμα, σὺν ταῖς λοιπαῖς μυροφόροις

Μαρία, καὶ Μάρθα λίαν πρωῒ καὶ τὴν ἔγερσιν, Αὐτοῦ ἠγγείλατε χοροῖς, Ἀποστόλων γυναῖκες θεόφρονες.

Δακρύουσαι, τοῦ Λαζάρου κοίμησιν, ἀπηγγείλατε Μαρία καὶ Μάρθα, τῷ Ἰησοῦ, τῇ ζωῇ τῶν ἁπάντων, τῷ τὴν Αὐτοῦ πᾶσι δείξαντι δύναμιν, καὶ Ὧ βοῶμεν· Λυτρωτά, ὁδωδότας ἡμᾶς ἐξανάστησον.

*Θεοτοκίον.*

Ἐπάξιον, ὕμνον τῆς Σῆς χάριτος, τίς δυνήσητε προσφέρειν Σοι Μῆτερ, σκηνὴ Κυρίου χρυσότευκτε δόξης, καὶ κλίνη ὄντως Αὐτοῦ χρυσοΰφαντε, ἀναβοῶμεν οἱ πιστοί, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Κοσμήσατε, ἔργοις καὶ πράξεσι θείαις ἡμῶν τὸν βίον, αἱ μερίδα τὴν ἀγαθὴν λαβεῖν ἐκλεξάμεναι, Μαρία καὶ Μάρθα ὦ μυροφόροι.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς ταχινοὺς ἐν δεινοῖς ἀντιλήπτορας, εὐσεβοφρόνων ὑμᾶς ἱκετεύομεν, μαρία καὶ Μάρθα ὁμαίμονες, Λαζάρου τοῦ θείου πραΰνατε, ἡμῶν τῶν παθῶν τὰ σκιρτήματα.

Προκείμενον: *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

*Εὐαγγέλιον. Κατὰ Λουκᾶν (ι', 38-42)*

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο Ἰησοῦς ἐν τῷ πορεύεσθαι αὐτοὺς καὶ εἰσῆλθεν εἰς κώμην τινά. γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἤκουε τὸν λόγον αὐτοῦ. ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

Δόξα: *Ταῖς τῶν Μυροφόρων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἀναπλέαι ἰστεως, δυὰς συγγόνων Λαζάρου, Μάρθα παμμακάριστε, καὶ Μαρία πάγκαλε διηνύσατε, βίον ἐνάρετον, πλήρη θείων ἔργων, καὶ Χριστῷ διηκονήσατε, καταξιούμεναι, μύροις ἐπαλεῖψαι τὸ ἄχραντον, Αὐτοῦ καὶ πανακήρατον, σῶμα μυροφόροι πανένδοξοι· ὅθεν ἱκεσίαις, ἐνθέρμοις καταφεύγομεν ὑμῶν, ἵνα τῆς κρείττονος τύχωμεν, δόξης οἱ ταλαίπωροι.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μυροφόροι γυναῖκες ξυνωρὶς αὐταδέλφων Μαρία εὔφημε, καὶ Μάρθα μακαρία, ὑμῶν ταῖς ἱκεσίαις, τὸν δυσώδη μου βόρβορον, τῆς ἁμαρτίας ταχύ, ἐλάσατε κραυγάζω.

Ἀγαθὴν μυροφόροι ἐξελέξασθε ὄντως μερίδα Κτίσαντι, Χριστῷ προσκολληθεῖσαι, καὶ Τούτου τὰς ἁγίας, παρωτρύνσεις τηρήσασαι· διὸ καὶ πέλετε νῦν, μεσίτριαι μερόπων.

Ξυνωρὶς ὁμαιμόνων μυροφόρων Μαρία καὶ Μάρθα πάνσεμναι, εὐχαῖς ὑμῶν ἀόκνοις, ἀτόπων λογισμῶν μου, τὴν πληθὺν ἐξαλείψατε, ἵνα ὑμᾶς ἀνυμνῶ, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἱλαστήριον κόσμου Μητροπάρθενε Κόρη Θεογεννήτρια, ὁδήγησον πρὸς τρίβον, εὐθεῖαν τοὺς Σοὺς δούλους, καὶ δεινῆς τοῦ ἀλάστορος, ῥῦσαι ἡμᾶς προσβολῆς, τοὺς καταφεύγοντάς Σοι.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὡς τῷ Σωτῆρι, διακονήσασαι πόθῳ, καὶ μυρίσασαι σῶμα τὸ θεῖον, μύροις ὑπὲρ πάντων, πρεσβεύσατε τῷ Κτίστῃ.

Συνοῦσαι θείαις, χοροστασίαις ἐν πόλῳ , δυσωπεῖτε Χριστὸν Μυροφόροι, ἅπαντας σωθῆναι, Μαρία τε καὶ Μάρθα.

Ἀΰλῳ φέγγει, τοῦ ἀναστάντος Κυρίου, νοῦν ὑμῶν ἐλλαμπόμεναι Μάρθα, καὶ Μαρία ζόφον, ἠλάσατε θανάτου.

*Θεοτοκίον.*

Τὰς τῆς σαρκός μου, κινήσεις τὰς ψυχοφθόρους, καταπράϋνον τῇ πανσθενεῖ Σου, χάριτι Παρθένε, ὑπερδεδοξασμένη.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἐπίβλεψον Μαρία, σὺν τῇ συγγόνῳ, τῇ Μάρθᾳ νῦν ἐπὶ τὰς τοῦ σαρκίου μου, κακώσεις καὶ τῆς ψυχῆς μου τὸ ἄλγος ἴασαι.

Μαρία θεοφόρε, μύρῳ ἡ τοὺς πόδας, τοὺς πανασπίλους Χριστοῦ ἐπαλείψασα, ῥᾶνόν με μύρῳ εὐχῶν σου, καὶ βλάβης ῥῦσαί με.

Ἐδέσματε Κυρίῳ, τῷ Σωτῆρι Μάρθα, ἡ ἑτοιμάσασα πόθῳ ἱκέτευε, Αὐτὸν ἡμᾶς τυραννίδος, ῥύσασθαι ὄφεως.

*Θεοτοκίον.*

Χαρᾶς ἀφθίτου βάθρον, στήριξον Σὸν δοῦλον, μὴ ἐμπεσεῖν ταῖς παγίσι τοῦ δαίμονος, καὶ ἀπ’ ἐμοῦ σκοτομίνην, τῆς λύπης σκέδασον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν

Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Μυροφόροι χαίρετε τοῦ Χριστοῦ, Μάρθα καὶ Μαρία, Βηθανίας ἡδυτερπῆ, ῥόδα αἱ μαθοῦσαι, ἐκ στόματος Ἀγγέλου, τὴν ἔγερσιν Κυρίου, τὴν ζωοπάροχον.

Δεῖπνον ἡτοιμάστε ἀδελφαί, τῆς ζωῆς τῷ ἄρτῳ καὶ τρεφόμεναι τοῖς Αὐτοῦ, ῥήμασι Μαρία, καὶ Μάρθα ζωηφόροις, πρὸς τὴν ζωὴν τὴν ὄντως, ἄληκτον ἤρθητε.

Ἡ διακονήσασα τῷ Χριστῷ, Μάρθα ὁλοθύμως, καθικέτευε ἐκτενῶς, Τοῦτον ἀπωθῆσαι, βιοτικὰς μερίμνας, ἐμοῦ καὶ ἀφθαρσίας, πόθον αὐξῆσαί μου.

Μύρῳ ἡ ἀλείψασα τοῦ Χριστοῦ, τοὺς ἀχράντους πόδας, πολυτίμῳ καὶ ταῖς θριξί, κεφαλῆς Μαρία, ἐκμάξασα σαῖς θείαις, ὑπὲρ ἡμῶν δυσώπει, τὸν σὸν Διδάσκαλον.

Παῤῥησίαν ἔχουσαι πρὸς Θεόν, Μάρθα καὶ Μαρία, τοῦ Λαζάτου αἱ ἀδελφαί, ῥύσασθε κινδύνων, καὶ πάσης ἄλλης βλάβης, ὑμῶν τοὺς εὐφημοῦντας, βίον τὸν ἄμεμπτον.

Δεῦτε ἀνυμνήσωμεν οἱ πιστοί, Μάρθαν καὶ Μαρίαν, τοῦ Λαζάρου τὰς ἀδελφάς, τὰς ἐκ τοῦ Ἀγγέλου, μαθούσας τοῦ Κυρίου, τὴν ἔγερσιν ἐκθύμως, ὕμνοις ἐμπρέπουσιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Μάρθα, ἡ διδάσκαλον Χριστόν, ὑποδεξαμένη ἐν οἴκῳ, τῷ σῷ καὶ πόδας Αὐτοῦ, μύρῳ ἡ ἀλείψασα, Μαρία πάνσεμνε, Μυροφόροι αὐτάδελφοι, ὑμῶν ταῖς πρεσβείαις, πρὸς τον πανοικτίρμονα, Θεὸν διώξατε,

ἀφ’ ὑμῶν δυσώδη κακίαν, μῖσός τε ὀργὴν ψυχοφθόρον, καὶ τὴν ἐμπερίστατον κακόνοιαν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

